# 0345-0407 - Iohannes Chrysostomus - In illud Ascendit dominus in templo

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 305 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In illud: Ascendit dominus in temploἀ

[00002] Εἰς τὸ, Ὅτε ἀνέβη ὁ Κύριος εἰς τὸ ἱερὸν, μεσούσης τῆς ἑορτῆς καὶ εἰς τὸν

[00003] Μελχισεδέκ.

[00004] Τῇ μεσοπεντηκοστῇ.

61.739

[00005] Ῥοαὶ καὶ μῆλον καὶ φοίνιξ καὶ οἱ λοιποὶ τῶν ἀκροδρύων καρποὶ τὸν τοῦ σώματος ἡδύνουσι φάρυγγα·

[00006] Θεῖοι δὲ λόγοι ἁγίων διδασκάλων ἀγάπῃ κεκερασμένοι, τῇ ἀκοῇ τῆς διδασκαλίας παραπεμπόμενοι, τὸν τῆς ψυχῆς γλυκαίνουσι λάρυγγα.

[00007] Καὶ ὥσπερ ὁ τοὺς καρποὺς τῶν δένδρων τρυγήσας, ἐν τῇ τῶν καρπῶν μεταλήψει ἐπαίνους τοῖς δένδροις ἀποδίδωσιν·

[00008] ὡσαύτως καὶ ὁ τὰ θεῖα λόγια τῶν διδασκάλων ἐν τῷ καρτάλλῳ τῆς ἀκοῆς ἐντρυγήσας, εἶτα τῷ νῷ παραπέμψας, καὶ τὴν τοῦ λόγου γλυκύτητα γευσάμενος, τῷ διδασκάλῳ ἐπαίνους ἐκπέμπων ἐκ χειλέων λέγει·

[00009] Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου! Καὶ ὁ σοφώτατος δὲ Σαλομὼν τοὺς καλοὺς λόγους κηρίοις μέλιτος παρεικάσας φησί·

[00010] Κηρία μέλιτος λόγοι καλοί.

[00011] Ὥσπερ γὰρ ὁ λάρυγξ τὰ βρώματα γευόμενος, οἶδε τὰ καλὰ ἀπὸ τῶν φαύλων διακρίνειν·

[00012] ὡσαύτως καὶ ὁ νοῦς τῆς ψυχῆς τὰ χρηστὰ ῥήματα οἶδεν ἀπὸ τῶν φαύλων διακρίνειν, ὥσπερ φησὶν ἐν τῷ Ἰώβ·

[00013] Λάρυγξ μὲν γὰρ σῖτα γεύεται, νοῦς δὲ ῥήματα διακρίνει.

[00014] Καὶ μηδεὶς νομιζέτω ἔχειν μὲν τὸν οἰκοδεσπότην ἐν τῷ ἰδίῳ παραδείσῳ δένδρα διάφορα, φοίνικας λέγω καὶ μῆλα καὶ ἐλαίας, τὸν δὲ Κύριον ἐν τῷ ἰδίῳ παραδείσῳ τῆς Ἐκκλησίας μὴ ἔχειν διάφορα στελέχη τῶν πατέρων, ἕκαστον κατὰ τὴν οἰκείαν χρηστότητα πρὸς τὴν τῶν εἰσπορευομένων ἀπόλαυσιν ἐκ βάθους τῆς καρδίας τοὺς καρποὺς τῶν λόγων προσφέροντα.

[00015] Ὁ μὲν γάρ τίς ἐστιν αὐτῶν, ὥσπερ ἐλαία εὐθαλὴς, τοῖς φύλλοις τῆς πίστεως κατάκομος, καὶ τοῖς ἔργοις τῆς εὐλαβείας κατάκαρπος·

[00016] ἄλλος δέ ἐστιν ὥσπερ φοίνιξ τοῖς βαΐοις τῆς κατὰ διαβόλου νίκης κατεστεμμένος, καὶ τὸν γλυκύτατον καρπὸν τῆς εὐποιίας τοῖς πένησι προβαλλόμενος·

[00017] περὶ οὗ φησιν ἡ Γραφὴ, Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

[00018] Ἕτερος δέ τίς ἐστιν, ὥσπερ μῆλον, δύο τέρψεις παρέχων τοῖς ἀνθρώποις, τήν τε ὄσφρησίν φημι, καὶ τὴν γλυκύτητα τῷ φάρυγγι·

[00019] καὶ τὸν τοιοῦτον ἐγκωμιάζουσα ἐν τοῖς Ἄσμασι τῶν ᾀσμάτων ἡ νύμφη Ἐκκλησία τί φησιν;

[00020] Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ.

[00021] Καί φησιν, Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα, καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγι.

[00022] Τί δὲ ποιήσω, ἀγαπητοὶ, ἐγὼ, ὁ ὀλιγοστὴν φυλλάδα λογίων καὶ καρπῶν κεκτημένος, μήτε τοὺς καυσαμένους ἀναψύξαι ἰσχύων, μήτε τοὺς πεινωμένους τοῖς καρποῖς τῶν λόγων ἐκθρέψαι δυνάμενος;

[00023] Καλὸν γάρ μοι ἦν μεθ' ὑμῶν μανθάνειν τὰ τῶν ἁγίων πατέρων διδάγματα.

[00024] Ἀλλ' ἐπειδὴ φόβος Θεοῦ καὶ ὁ πόθος ὑμῶν πρὸς τὸ λέγειν ἡμᾶς διεγείρει, δύο ἢ τρεῖς λόγους τοῦ γλυκυτάτου Εὐαγγελίου λαβόντες καθάπερ φοίνικας, καὶ ἀπογεύσαντες, ὑμᾶς διεγείρωμεν·

[00025] οὕτω γὰρ προθύμως ἐπὶ τὰ καλλίκαρπα δένδρα τῶν ἁγίων πατέρων ζέοντες τῷ πνεύματι ἐπειχθήσεσθε.

[00026] Ἀρτίως ἠκούσαμεν τοῦ εὐαγγελιστοῦ λέγοντος, Μεσαζούσης τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκεν.

[00027] Οὐ παρῆλθεν ὁ λόγος τοῦ Εὐαγγελίου, ἐπειδὴ ἐνέστηκεν ὁ τῆς ἑορτῆς καιρὸς, πρέπουσα τοῖς παροῦσιν ἡ τοῦ Εὐαγγελίου ἀνάγνωσις, ἁρμόζουσα τῇ ἡμέρᾳ ἡ διήγησις·

[00028] ἀδελφὴ γάρ ἐστι τῆς ἐνεστώσης ἑορτῆς ἡ τοῦ λόγου δύναμις.

[00029] Μεσαζούσης τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν·

[00030] τελεσθείσης δὲ τῆς ἑορτῆς, οὐκέτι ἀναβαίνει εἰς τὸ ἱερὸν, ἀλλ' εἰς τὸν οὐρανὸν ἀνατρέχει.

[00031] Μεσαζούσης δὲ τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν.

[00032] Ἑορτῆς δὲ λέγει, οὐ τῆς παρ' Ἕλλησι καὶ Ἰουδαίοις γινομένης, ἔνθα μέθαι καὶ κῶμοι καὶ ᾄσματα πορνικὰ, καὶ θέλγιστρα καλλιφωνίας, καὶ ὀρχήσεις πολύστροφοι, ἀλλ' ἑορτῆς ἁγίας πρεπούσης Χριστιανοῖς, ἔνθα οὐ μέθαι καὶ κῶμοι, ἀλλ' εὐχαὶ καὶ ὑμνῳδίαι καὶ ἱκεσίαι·

[00033] ἔνθα οὐκ ᾄσματα πορνικὰ ἐκλύοντα σώματα, ἀλλ' ᾄσματα θεϊκὰ τὰς ψυχὰς ἐνισχύοντα·

[00034] ἔνθα οὐκ ὀρχήσεις πολύστροφοι, ἀλλὰ ψυχῶν ἁγίων ἐν ἀγαλλιάσει σκιρτήματα.

[00035] Εἰ δὲ θέλεις ἰδεῖν τοὺς παρ' ἡμῖν ᾄδοντας καὶ ὀρχουμένους καὶ σκιρτῶντας οἷοί εἰσιν, ἴδε μοι τὸν Ἡσαΐαν ᾄδοντα καὶ λέγοντα, Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τῷ ἀγαπητῷ μου, τῷ ἀμπελῶνί μου.

[00036] Βλέπε δὲ καὶ χορὸν ἁγίων γυναικῶν, Μαρίαν τὴν ἀδελφὴν Μωϋσέως, μετὰ καὶ ἄλλων γυναικῶν Ἰσραηλιτῶν, ἐπινικίους ὕμνους τῷ Θεῷ ᾀδούσας καὶ λεγούσας·

[00037] Ἄσωμεν τῷ Κυρίῳ·

[00038] ἐνδόξως γὰρ δεδόξασται.

[00039] Οὐ μέμνηται καὶ Δαυῒδ ἐν ὕμνοις λέγων, Ἐν μέσῳ νεανίδων [61.740] τυμπανιστριῶν ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

[00040] Καὶ ὁ αὐτὸς μακάριος Δαυῒδ οὐκ ἐπαισχύνεται ἔμπροσθεν τῆς θεοφόρου κιβωτοῦ ὀρχεῖσθαι, ὡς ἔστιν ἀκοῦσαι λέγοντος·

[00041] Καὶ παίξομαι, καὶ γελάσομαι, καὶ ὀρχήσομαι ἐναντίον Κυρίου.

[00042] Τὸ γὰρ βρέφος τῆς Ἐλισάβετ Ἰωάννης, θεωρήσας τὸν θεοφόρον βότρυν ἐν τῇ ἀγάμῳ μήτρᾳ ἔτι κρυπτόμενον, ἐν τῇ λινῷ τῆς γαστρὸς χορεύων ἐσκίρτα.

[00043] Μεσαζούσης δὲ τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν.

[00044] Ἱερὸν δέ ἐστι Θεῷ μόνῳ οἰκητήριον.

[00045] Λέγουσι γὰρ καὶ Ἕλληνες, ἔχομεν ἱερὸν, ἀγνοοῦντες ὅτι ἐκεῖνο οὐκ ἔστιν ἱερὸν, ἀλλὰ μιαρόν.

[00046] Ὅπου γὰρ αἱμάτων ἔκχυσις καὶ σπονδῶν, καὶ κνίσσαι εἰδωλικαὶ καὶ τελεταὶ δαιμόνων, ἐκεῖνο οὐκ ἂν εἴη ἱερὸν, ἀλλὰ μιαρὸν τῶν δαιμόνων.

[00047] Μεσαζούσης δὲ τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν.

[00048] Ἱερὸν δέ ἐστι μόνῳ Θεῷ οἰκητήριον ἀνακείμενον, ἔνθα ἀγάπη καὶ εἰρήνη, ἔνθα πίστις καὶ σωφροσύνη αὐλίζεται.

[00049] Διὰ τοῦτο καὶ τὸν ἱερέα τοῦ Θεοῦ τὸν ἱερουργοῦντα τῷ Θεῷ εἰρηναῖον δεῖ εἶναι καὶ γαληνὸν, ἄκλοπον, ἄδολον, ἀφιλάργυρον, ἵνα προτέρως Θεὸς ἐν τῇ αὐτοῦ ψυχῇ κατορθώσῃ, εἶθ' οὕτω τὸν λαὸν πρὸς τὴν ἑαυτοῦ εἰκόνα μεταῤῥυθμίσῃ.

[00050] Δύναται ἱερὸν λέγεσθαι καὶ ἑκάστου πιστοῦ ἀνθρώπου ψυχὴ κεκαθαρμένη·

[00051] Οἰκήσω γὰρ ἐν ὑμῖν, καὶ ἐμπεριπατήσω·

[00052] ἱερὸν δὲ ὡς ἀληθῶς ἅγιον, καὶ ἱερεῖον, καὶ ἱερεὺς, αὐτός ἐστιν ὁ Χριστὸς, ἐν ᾧ, κατὰ τὸν θεῖον Ἀπόστολον, Πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικεῖ σωματικῶς·

[00053] πρὸς ὃν εἴρηκεν ὁ Πατὴρ, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

[00054] Νῦν ἐκπεσὼν ἐκ τοῦ ἀδοκήτου εἰς μέγιστον ζήτημα, ἀπορῶ ποῦ κλίνω τὸ ὄμμα τῆς διανοίας ποῦ μετελεύσω τῷ πηδαλίῳ τῆς διδασκαλίας οὐκ οἶδα.

[00055] Εἰ γὰρ ὁ ἀπόστολος εἰς τὸ κεφάλαιον τὸ περὶ τὸν Μελχισεδὲκ ἐληλυθὼς, ὤκνησε λεπτομερῶς διηγήσασθαι εἰρηκὼς, Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος, τί ἂν εἴποιμ' ἐγὼ, τοσοῦτον ἐπέχων τοῦ ἀποστόλου, ὅσον ἀνθρώπου διάκρισις;

[00056] Καὶ ὥσπερ ὁδοιπόρος μέχρις ἄν τινα πρανῆ καὶ πεδιάσιμον ὁδὸν ἐπιβαίνῃ, ἡδέως τὴν πορείαν ἀνύει·

[00057] ἐπειδὰν δὲ ἔλθῃ πρὸς τόπον τινὰ τραχύτατον ἢ προσάντη καὶ δύσβατον, ἔνθα ἐστὶν ὄρος οὐρανόμηκες, σταθεὶς καὶ τὸν κάματον τοῦ ἀναφόρου ἀναλογισάμενος, ἠρέμα βαδίζειν ἄρχεται, ἵνα μὴ ταχεῖον ἀποκρίσῃ·

[00058] ὡσαύτως καὶ ἡμεῖς, ἕως οὗ εἴχομεν τὸ τοῦ Εὐαγγελίου πρανὲς καὶ πεδιάσιμον, τῷ βήματι τοῦ λόγου ἡδέως ἐπορευόμεθα·

[00059] ὅταν δὲ ἐληλύθαμεν εἰς οὐρανόμηκες νόημα, ἠρέμα ἐπιβαίνειν τῇ οὐρανίῳ κλίμακι ἑρμηνείᾳ ἀρχόμεθα.

[00060] Τί δέ ἐστι τὸ παρὰ πᾶσι Χριστιανοῖς ζητούμενον θεώρημα;

[00061] Τίνος ἕνεκεν, φησὶν, ὁ Ἀπόστολος μνημονεύσας Μελχισεδὲκ, εἶπεν αὐτὸν ἀπάτορα καὶ ἀγενεαλόγητον, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχοντα;

[00062] οὗτος οὐκ ἂν εἴη ἄνθρωπος, ἀλλὰ Θεός.

[00063] Πολλοὶ δὲ μὴ νοήσαντες τὰ περὶ αὐτοῦ εἰρημένα, μείζονα τοῦ Χριστοῦ εἶναι εἰρήκασι, καὶ συνεστήσαντο ἑαυτοῖς αἵρεσιν, καὶ λέγονται ἐκεῖνοι Μελχισεδεκιανοί·

[00064] καὶ φιλονεικοῦντες ἡμῖν καὶ βουλόμενοι δεῖξαι, ὅτι μείζων ἐστὶ τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, προφέρουσιν ἡμῖν μάρτυρα τὴν Γραφὴν λέγουσαν·

[00065] Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

[00066] Πῶς γὰρ, φησὶν, οὐκ ἂν εἴη μείζων ὁ Μελχισεδὲκ, οὗ κατὰ τὴν εἰκόνα καὶ τάξιν ἱερατεύει ὁ Χριστός;

[00067] Ἄλλοι δὲ πλανηθέντες λέγουσιν αὐτὸν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον.

[00068] Ἡμεῖς δὲ λέγομεν αὐτὸν εἶναι ἄνθρωπον ὁμοιοπαθῆ ἡμῖν, καὶ μήτε μείζονα αὐτὸν εἶναι Χριστοῦ·

[00069] τί δὲ λέγω τοῦ Χριστοῦ;

[00070] ἀλλ' οὔτε Ἰωάννου τοῦ Βαπτιστοῦ.

[00071] Ἀληθὴςγὰρ ὁ λόγος τοῦ Κυρίου, Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ.

[00072] Ἀλλ' οὔτε μὴν εἶναι αὐτὸν τὸ ἅγιον Πνεῦμα.

[00073] Ὅτι δὲ οὐκ ἔστι μείζων τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, εἰπάτωσαν ἡμῖν ἐκεῖνοι οἱ τοῦτο λέγοντες, ποίου περιβόλου, ἢ ποίου χωρίου αὐτὸν εἶναι λέγουσιν.

[00074] Ἆρα οὐρανίου;

[00075] ἆρα ἐπιγείου;

[00076] ἆρα καταχθονίου;

[00077] Ἐὰν οὖν εἴπωσιν ὅτι τῶν οὐρανίων ἐστὶν ὁ Μελχισεδὲκ ἢ ἄλλου τινὸς χωρίου, ἀκουσάτωσαν ὅτι τὸ αὐτοῦ γόνυ κάμπτει τῷ Χριστῷ·

[00078] λέγει γὰρ ὁ Ἀπόστολος ὅτι Αὐτῷ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ἐπουρανίων, ἐπιγείων καὶ καταχθονίων.

[00079] Εἰ οὖν κάμπτει γόνυ ὁ Μελχισεδὲκ τῷ Χριστῷ, ἐλάττων εἴη προσκυνῶν Μελχισεδὲκ τοῦ προσκυνουμένου ὑπ' αὐτοῦ [61.741] Χριστοῦ.

[00080] Τί δὲ οἱ τάλανες καὶ τὸν ἑξῆς στίχον εἰρημένον παρὰ τοῦ Ἀποστόλου οὐκ ἀκούουσιν, ἵνα μάθωσιν αὐτὸν ἐλάττω εἶναι τοῦ Χριστοῦ;

[00081] ἐπιφέρει γὰρ λέγων, Ἀφωμοιωμένος τῷ Υἱῷ τοῦ Θεοῦ, ὥσπερ καὶ ἡμεῖς κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Χριστοῦ ἐγενόμεθα.

[00082] Ἀλλ' ἴσως τις τῶν ἀκροατῶν ἐπερωτᾷ καὶ λέγει·

[00083] Τί οὖν ἐστιν ἀπάτορα λέγεσθαι καὶ ἀμήτορα καὶ ἀγενεαλόγητον τὸν Μελχισεδέκ;

[00084] Πρὸς ὃν ἐροῦμεν, ὅτι Ἰουδαῖοι μὲν εἰρήκασιν αὐτὸν ἐκ πορνείας γεννηθέντα, καὶ διὰ τοῦτο μὴ γενεαλογεῖσθαι ὑπὸ τῆς Γραφῆς.

[00085] Πρὸς οὓς ἐροῦμεν, ὅτι, Κακῶς εἴπατε·

[00086] εὑρίσκομεν γὰρ καὶ ἄλλους ἀπὸ πορνείας γεννηθέντας καὶ γενεαλογηθέντας.

[00087] Εὐθὺς Σολομὼν ἐκ τῆς τοῦ Οὐρίου γυναικὸς γεννηθεὶς ἐγενεαλογήθη, καὶ Ἀβιμέλεχ υἱὸς Γεδεὼν, ὃς ἐκ πορνείας γεννηθεὶς ἐγενεαλογήθη.

[00088] Τίνος οὖν ἕνεκεν οὐ γενεαλογεῖται ὁ Μελχισεδέκ;

[00089] Ἀλλ' ἐπειδὴ τύπος ἦν τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, καὶ εἰκόνα ἔφερε τοῦ Χριστοῦ.

[00090] Διὰ τοῦτο ἡ Γραφὴ παρέλιπε τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἀγενεαλόγητον αὐτὸν διηγήσατο, ἵνα ἐν ἐκείνῳ, καθάπερ εἰκόνι, τὸν ἀληθῶς ἀπάτορα καὶ ἀμήτορα καὶ ἀγενεαλόγητον τὸν Χριστὸν ἐνοπτρισώμεθα.

[00091] Ἀπάτωρ γὰρ Χριστὸς ἐπὶ γῆς κατὰ σάρκα, ἀμήτωρ ἐν οὐρανοῖς κατὰ Πνεῦμα, κατὰ τὴν θεότητα.

[00092] Τοιοῦτός ἐστι καὶ ὁ Μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων.

[00093] Οὐ γὰρ ἐγενεαλόγησε τὸν Μελχισεδὲκ ἡ Γραφὴ, ἀλλὰ παρέλιπεν αὐτοῦ καὶ τὴν γέννησιν καὶ τὴν τελευτὴν, ἵνα, καθὼς προείπαμεν, ἐν ἐκείνῳ τοῦτον θεωρήσωμεν τὸν ἀληθινὸν Μελχισεδέκ.

[00094] Βασιλεὺς γὰρ δικαιοσύνης ἑρμηνεύεται ὁ Μελχισεδὲκ, ὅς ἐστι Χριστὸς, [61.742] μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων.

[00095] Οὔτε γὰρ ἀρχὴν ἡμερῶν ὁ Θεὸς Λόγος εἶχεν, οὔτε ἔληξέ ποτε ἢ ἐτελεύτησεν·

[00096] εἰς ἀεὶ γὰρ ὁ Χριστὸς διαμένει.

[00097] Ἀντιλέγουσι γὰρ ἡμῖν οἱ Μελχισεδεκιανοὶ λέγοντες, Τί οὖν ἐστιν ὃ λέγει πρὸς αὐτὸν ὁ Πατὴρ, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ;

[00098] Πρὸς οὓς λέγομεν, ὅτι οὗτος ὁ Μελχισεδὲκ ἀνὴρ δίκαιος γέγονε, καὶ ἀληθῶς εἰκόνα Θεοῦ φέρων ἐν ἑαυτῷ.

[00099] Προφητικῷ τοίνυν Πνεύματι κινούμενος, τὴν μέλλουσαν ὑπὸ Χριστοῦ προσφορὰν τῷ Θεῷ προσκομίζεσθαι νῦν νοήσας, ἄρτῳ καὶ οἴνῳ τὸν Θεὸν ἐγέραιρε, μιμούμενος τὸν μέλλοντα Χριστόν.

[00100] Ἐπειδὴ οὖν ἐν τῇ τῶν Ἰουδαίων συναγωγῇ ἡ τάξις τοῦ Ἀαρὼν θυσίαν προσέφερεν, οὐκ ἄρτον καὶ οἶνον, ἀλλὰ μόσχους καὶ ἀμνοὺς καὶ ἐναίμοις θυσίαις ἐδόξαζε τὸν Θεὸν, ὁ Θεὸς πρὸς τὸν μέλλοντα γεννᾶσθαι ἐκ τῆς παρθένου Μαρίας Ἰησοῦν βοᾷ καὶ λέγει·

[00101] Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, οὐ κατὰ τὴν τάξιν Ἀαρὼν, τοῦ ἐν μόσχοις καὶ ἀρνάσι καὶ ἐναίμοις θυσίαις λατρεύοντος, ἀλλὰ, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἐν ἄρτῳ καὶ οἴνῳ τὴν τῶν ἐθνῶν προσκομίζων προσφορὰν εἰς τὸ διηνεκές.

[00102] Ἀλλ' ἵνα μὴ δόξωμεν, ἀγαπητοὶ, ἐρεσχελεῖν μηκύνοντες τὸν λόγον, ἐνταῦθα στήσαντες τὸν λόγον, τῇ τῶν πατέρων πηγῇ τῆς διδασκαλίας παραπέμψομεν ὑμᾶς, οἵτινες καὶ τὴν δίψαν τῆς ψυχῆς ὑμῶν καταπαύσωσι, καὶ τὰς καρδίας ὑμῶν εὐφράνωσι, Πνεύματος ἁγίου πληροῦντες, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00103] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In illud Ascendit dominus in templo**
**Litterarum Omnium Conspectus: 127 Litterae, quae repetitae sunt in 8,682 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 595 | Α | 0913 | 2 |
| β | 0946 | 29 | Β | 0914 | 4 |
| γ | 0947 | 193 | Γ | 0915 | 6 |
| δ | 0948 | 160 | Δ | 0916 | 0 |
| ε | 0949 | 502 | Ε | 0917 | 9 |
| ζ | 0950 | 25 | Ζ | 0918 | 0 |
| η | 0951 | 126 | Η | 0919 | 0 |
| θ | 0952 | 88 | Θ | 0920 | 16 |
| ι | 0953 | 369 | Ι | 0921 | 1 |
| κ | 0954 | 312 | Κ | 0922 | 16 |
| λ | 0955 | 273 | Λ | 0923 | 3 |
| μ | 0956 | 238 | Μ | 0924 | 32 |
| ν | 0957 | 709 | Ν | 0925 | 1 |
| ξ | 0958 | 25 | Ξ | 0926 | 0 |
| ο | 0959 | 570 | Ο | 0927 | 6 |
| π | 0960 | 201 | Π | 0928 | 15 |
| ρ | 0961 | 356 | Ρ | 0929 | 0 |
| ς | 0962 | 350 | • | 0930 | 0 |

| | | | | | |
|---|---|---|---|---|---|
| σ | 0963 | 312 | Σ | 0931 | 7 |
| τ | 0964 | 607 | Τ | 0932 | 10 |
| υ | 0965 | 145 | Υ | 0933 | 1 |
| φ | 0966 | 55 | Φ | 0934 | 0 |
| χ | 0967 | 76 | Χ | 0935 | 23 |
| ψ | 0968 | 15 | Ψ | 0936 | 0 |
| ω | 0969 | 115 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 3 | Ῥ | 8172 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 78 | έ | 8051 | 133 | ή | 8053 | 53 | ί | 8055 | 144 | ό | 8057 | 89 | ύ | 8059 | 63 | ώ | 8061 | 13 |
| ὰ | 8048 | 67 | ὲ | 8050 | 41 | ὴ | 80852 | 52 | ὶ | 8054 | 126 | ὸ | 8056 | 117 | ὺ | 8058 | 26 | ὼ | 8060 | 11 |
| ᾶ | 8118 | 8 | | | 0 | ῆ | 8134 | 59 | ῖ | 8150 | 50 | | | 0 | ῦ | 8166 | 93 | ῶ | 8182 | 63 |
| ἀ | 7936 | 84 | ἐ | 7952 | 115 | ἠ | 7968 | 4 | ἰ | 7984 | 57 | ὀ | 8000 | 6 | ὐ | 8016 | 60 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 8 | ἑ | 7953 | 17 | ἡ | 7969 | 28 | ἱ | 7985 | 31 | ὁ | 8001 | 42 | ὑ | 8017 | 15 | ὡ | 8033 | 6 |
| ἂ | 7938 | 4 | ἒ | 7954 | 0 | ἢ | 7970 | 5 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 4 | ὓ | 8019 | 2 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 13 | ἔ | 7956 | 23 | ἤ | 7972 | 0 | ἴ | 7988 | 13 | ὄ | 8004 | 3 | ὔ | 8020 | 4 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 3 | ἕ | 7957 | 4 | ἥ | 7973 | 0 | ἵ | 7989 | 8 | ὅ | 8005 | 11 | ὕ | 8021 | 5 | ὥ | 8037 | 7 |
| ἆ | 7942 | 2 | | | 0 | ἦ | 7974 | 2 | ἶ | 7990 | 16 | | | 0 | ὖ | 8022 | 6 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 7 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 2 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 5 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 1 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 2 |
| ᾳ | 8115 | 3 | | | 0 | ῃ | 8131 | 6 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 23 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 3 | | | 0 | ῇ | 8135 | 16 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 39 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - In illud Ascendit dominus in templo**

**Verborum Omnium Conspectus: 794Verba, quae repetita sunt in 3,293,386 occasionibus**

**Ἀαρὼν** [00100] [00101]
**Ἀβιμέλεχ** [00087]
**ἀγαλλιάσει** [00034]
**ἀγάμῳ** [00042]
**ἀγάπῃ** [00006]
**ἀγάπη** [00048]
**ἀγαπητοὶ** [00022] [00102]
**ἀγαπητῷ** [00035]
**ἀγενεαλόγητον** [00061] [00083] [00090] [00090]
**ἁγίας** [00032]
**ἅγιον** [00052] [00067] [00072]
**ἁγίου** [00102]
**ἁγίων** [00006] [00023] [00025] [00034] [00036]
**ἀγνοοῦντες** [00045]
**ἀδελφὴ** [00028]
**ἀδελφὴν** [00036]
**ἀδελφιδός** [00020]
**ἀδοκήτου** [00054]
**ἄδολον** [00049]
**ᾄδοντα** [00035]
**ᾄδοντας** [00035]
**ᾀδούσας** [00036]
**ἀεὶ** [00096]
**αἱμάτων** [00046]
**αἵρεσιν** [00063]
**αἰῶνα** [00053] [00065] [00097] [00101] [00101]
**αἰῶνας** [00102]
**αἰώνων** [00102]
**ἄκλοπον** [00049]
**ἀκοῇ** [00006]
**ἀκοῆς** [00008]
**ἀκούουσιν** [00080]
**ἀκοῦσαι** [00040]
**ἀκουσάτωσαν** [00077]
**ἀκροατῶν** [00082]
**ἀκροδρύων** [00005]
**Ἀληθὴςγὰρ** [00071]
**ἀληθινὸν** [00093]
**ἀληθῶς** [00052] [00090] [00098]
**ἀλλ** [00030] [00032] [00032] [00033] [00070]
**Ἀλλ** [00024] [00072] [00082] [00089] [00102]
**ἀλλὰ** [00034] [00045] [00046] [00062] [00093] [00100] [00101]
**Ἄλλοι** [00067]
**ἄλλος** [00016]
**ἄλλου** [00077]
**ἄλλους** [00086]
**ἄλλων** [00036]
**Ἀμὴν** [00071]
**Ἀμήν** [00103]
**ἀμήτορα** [00083] [00090]
**ἀμήτωρ** [00091]
**ἀμνοὺς** [00100]
**ἀμπελῶνί** [00035]
**ἂν** [00046] [00055] [00062] [00066]
**ἄν** [00056]
**ἀναβαίνει** [00030]
**ἀνάγνωσις** [00027]
**ἀνακείμενον** [00048]
**ἀναλογισάμενος** [00057]
**ἀνατρέχει** [00030]
**ἀναφόρου** [00057]
**ἀναψύξαι** [00022]
**ἀνέβη** [00002] [00026] [00029] [00031] [00043] [00047]
**ἀνὴρ** [00098]
**ἀνθήσει** [00017]
**ἀνθρώποις** [00018]
**ἄνθρωπον** [00068]
**ἄνθρωπος** [00062]
**ἀνθρώπου** [00050] [00055]
**Ἀντιλέγουσι** [00097]
**ἀνύει** [00056]
**ἀπάτορα** [00061] [00083] [00090]
**Ἀπάτωρ** [00091]
**ἀπογεύσαντες** [00024]
**ἀποδίδωσιν** [00007]
**ἀποκρίσῃ** [00057]
**ἀπόλαυσιν** [00014]
**ἀπορῶ** [00054]
**Ἀπόστολον** [00052]
**ἀπόστολος** [00055]
**Ἀπόστολος** [00061] [00078]
**ἀποστόλου** [00055]
**Ἀποστόλου** [00080]
**ἄρα** [00075] [00076]
**Ἆρα** [00074]
**ἁρμόζουσα** [00027]
**ἀρνάσι** [00101]
**Ἀρτίως** [00026]
**ἄρτον** [00100]
**ἄρτῳ** [00099] [00101]
**ἄρχεται** [00057]
**ἀρχὴν** [00061] [00092] [00094] [00095]
**ἀρχόμεθα** [00059]
**ᾆσμα** [00035]
**Ἄσμασι** [00019]
**ᾄσματα** [00032] [00033] [00033]
**ᾀσμάτων** [00019]
**Ἄσω** [00035]

**Ἄσωμεν** [00037]
**αὐλίζεται** [00048]
**αὐτὸν** [00061] [00067] [00068] [00068] [00072] [00073] [00080] [00084] [00090] [00097]
**αὐτὸς** [00040]
**αὐτός** [00052]
**αὐτοῦ** [00021] [00021] [00063] [00077] [00079] [00093]
**αὑτοῦ** [00049]
**Αὐτῷ** [00078]
**αὐτῶν** [00015]
**ἀφιλάργυρον** [00049]
**Ἀφωμοιωμένος** [00081]
**Ascendit** [00001]

**βαΐοις** [00016]
**βαδίζειν** [00057]
**βάθους** [00014]
**Βαπτιστοῦ** [00070] [00071]
**Βασιλεὺς** [00094]
**βήματι** [00058]
**Βλέπε** [00036]
**βοᾷ** [00100]
**βότρυν** [00042]
**βουλόμενοι** [00064]
**βρέφος** [00042]
**βρώματα** [00011]

**γαληνὸν** [00049]
**γὰρ** [00011] [00013] [00025] [00038] [00042] [00045] [00046] [00051] [00055] [00066] [00078] [00081] [00086] [00091] [00093] [00094] [00095] [00096] [00097]
**γάρ** [00015] [00023] [00028]
**γαστρὸς** [00042]
**γέγονε** [00098]
**Γεδεὼν** [00087]
**γελάσομαι** [00041]
**γενεαλογεῖσθαι** [00084]
**γενεαλογεῖται** [00088]
**γενεαλογηθέντας** [00086]
**γεννᾶσθαι** [00100]
**γεννηθεὶς** [00087] [00087]
**γεννηθέντα** [00084]
**γεννηθέντας** [00086]
**γέννησιν** [00093]
**γεννητοῖς** [00071]
**γεύεται** [00013]
**γευόμενος** [00011]
**γευσάμενος** [00008]
**γῆς** [00091]
**γινομένης** [00032]
**γλυκαίνουσι** [00006]
**γλυκέα** [00009]
**γλυκὺς** [00021]
**γλυκύτατον** [00016]
**γλυκυτάτου** [00024]
**γλυκύτητα** [00008] [00018]
**γλῶσσα** [00078]
**γόνυ** [00077] [00078] [00079]
**Γραφὴ** [00017] [00090] [00093]
**Γραφὴν** [00064]
**Γραφῆς** [00084]
**γυναικὸς** [00087]
**γυναικῶν** [00036] [00036] [00071]

**δαιμόνων** [00046] [00046]
**Δαυῒδ** [00039] [00040]
**δὲ** [00006] [00009] [00013] [00014] [00022] [00030] [00031] [00032] [00035] [00036] [00043] [00047] [00052] [00057] [00059] [00063] [00067] [00068] [00069] [00073] [00080]
**δέ** [00016] [00018] [00044] [00048] [00060]
**δεδόξασται** [00038]
**δεῖ** [00049]
**δεῖξαι** [00064]
**δένδρα** [00014] [00025]
**δένδροις** [00007]
**δένδρων** [00007]
**δὴ** [00035]
**Διὰ** [00049] [00090]
**διὰ** [00084]
**διαβόλου** [00016]
**διακρίνει** [00013]
**διακρίνειν** [00011] [00012]
**διάκρισις** [00055]
**διαμένει** [00096]
**διανοίας** [00054]
**διάφορα** [00014] [00014]
**διδάγματα** [00023]
**διδασκαλίας** [00006] [00054] [00102]
**διδασκάλῳ** [00008]
**διδασκάλων** [00006] [00008]
**διεγείρει** [00024]
**διεγείρωμεν** [00024]
**διηγήσασθαι** [00055]
**διηγήσατο** [00090]
**διήγησις** [00027]
**διηνεκές** [00101]
**Δίκαιος** [00017]
**δίκαιος** [00098]
**δικαιοσύνης** [00094]
**δίψαν** [00102]
**δόξα** [00102]
**δόξωμεν** [00102]
**δρυμοῦ** [00020]
**δυνάμενος** [00022]
**δύναμις** [00028]
**Δύναται** [00050]
**δύο** [00018] [00024]
**δύσβατον** [00057]
**δυσερμήνευτος** [00055]

**Ἐὰν** [00077]
**ἑαυτοῖς** [00063]
**ἑαυτοῦ** [00049]

**ἑαυτῷ** [00098]
**ἐγενεαλογήθη** [00087] [00087]
**ἐγενεαλόγησε** [00093]
**ἐγενόμεθα** [00081]
**ἐγέραιρε** [00099]
**ἐγήγερται** [00071]
**ἐγκωμιάζουσα** [00019]
**ἐγὼ** [00022] [00055]
**ἐδίδασκεν** [00026]
**ἐδόξαζε** [00100]
**ἐθνῶν** [00101]
**Εἰ** [00035] [00055] [00079]
**εἰδωλικαὶ** [00046]
**εἴη** [00046] [00062] [00066] [00079]
**εἶθ** [00049]
**εἰκόνα** [00049] [00066] [00081] [00089] [00098]
**εἰκόνι** [00090]
**εἶναι** [00049] [00063] [00067] [00068] [00068] [00072] [00073] [00080]
**εἴπατε** [00085]
**εἰπάτωσαν** [00073]
**εἶπεν** [00061]
**εἴποιμ** [00055]
**εἴπωσιν** [00077]
**εἰρήκασι** [00063]
**εἰρήκασιν** [00084]
**εἴρηκεν** [00053]
**εἰρηκὼς** [00055]
**εἰρημένα** [00063]
**εἰρημένον** [00080]
**εἰρηναῖον** [00049]
**εἰρήνη** [00048]
**Εἰς** [00002]
**εἰς** [00002] [00002] [00026] [00029] [00030] [00030] [00031] [00043] [00047] [00053] [00054] [00055] [00059] [00065] [00096] [00097] [00101] [00101] [00101] [00102]
**εἰσιν** [00035]
**εἰσπορευομένων** [00014]
**εἶτα** [00008]
**εἶχεν** [00095]
**εἴχομεν** [00058]
**ἐκ** [00008] [00014] [00054] [00084] [00087] [00087] [00100]
**ἐκάθισα** [00021]
**ἕκαστον** [00014]
**ἑκάστου** [00050]
**ἐκεῖνο** [00045] [00046]
**ἐκεῖνοι** [00063] [00073]
**ἐκείνῳ** [00090] [00093]
**ἐκθρέψαι** [00022]
**Ἐκκλησία** [00019]
**Ἐκκλησίαις** [00039]
**Ἐκκλησίας** [00014]
**ἐκλύοντα** [00033]
**ἐκπέμπων** [00008]
**ἐκπεσὼν** [00054]
**ἔκχυσις** [00046]
**ἐλαία** [00015]
**ἐλαίας** [00014]
**ἐλάττω** [00080]
**ἐλάττων** [00079]
**ἐληλύθαμεν** [00059]
**ἐληλυθὼς** [00055]
**ἔληξέ** [00095]
**ἔλθῃ** [00057]
**Ἐλισάβετ** [00042]
**Ἕλληνες** [00045]
**Ἕλλησι** [00032]
**ἐμπεριπατήσω** [00051]
**ἔμπροσθεν** [00040]
**ἐν** [00007] [00008] [00012] [00014] [00014] [00019] [00020] [00020] [00021] [00034] [00039] [00039] [00042] [00042] [00049] [00051] [00052] [00071] [00090] [00091] [00093] [00098] [00100] [00101] [00101] [00102]
**Ἐν** [00021] [00039]
**ἐναίμοις** [00100] [00101]
**ἐναντίον** [00041]
**ἐνδόξως** [00038]
**ἕνεκεν** [00061] [00088]
**ἐνέστηκεν** [00027]
**ἐνεστώσης** [00028]
**ἔνθα** [00032] [00032] [00033] [00034] [00048] [00048] [00057]
**ἐνισχύοντα** [00033]
**ἐνοπτρισώμεθα** [00090]
**ἐνταῦθα** [00102]
**ἐντρυγήσας** [00008]
**ἑξῆς** [00080]
**ἐξομολογήσεται** [00078]
**ἑορτῆς** [00002] [00026] [00027] [00028] [00029] [00030] [00031] [00032] [00043] [00047]
**Ἑορτῆς** [00032]
**ἐπαίνους** [00007] [00008]
**ἐπαισχύνεται** [00040]
**ἐπεθύμησα** [00021]
**ἐπειδὰν** [00057]
**ἐπειδὴ** [00024] [00027] [00089]
**Ἐπειδὴ** [00100]
**ἐπειχθήσεσθε** [00025]
**ἐπερωτᾷ** [00082]
**ἐπέχων** [00055]
**ἐπὶ** [00025] [00091]
**ἐπιβαίνειν** [00059]
**ἐπιβαίνῃ** [00056]
**ἐπιγείου** [00075]
**ἐπιγείων** [00078]
**ἐπινικίους** [00036]
**ἐπιφέρει** [00081]
**ἐπορευόμεθα** [00058]
**ἐπουρανίων** [00078]
**ἔργοις** [00015]
**ἐρεσχελεῖν** [00102]
**ἑρμηνείᾳ** [00059]
**ἑρμηνεύεται** [00094]
**ἐροῦμεν** [00084] [00085]
**ἐσκίρτα** [00042]
**ἐστὶ** [00064]
**ἐστι** [00028] [00044] [00048] [00060] [00092] [00094]
**ἔστι** [00073]
**ἐστὶν** [00057] [00077]
**ἐστιν** [00015] [00016] [00018] [00052] [00083] [00097]
**ἔστιν** [00040] [00045]
**ἐτελεύτησεν** [00095]
**Ἕτερος** [00018]
**ἔτι** [00042]

**Εὐαγγελίου** [00024] [00027] [00027] [00058]
**εὐαγγελιστοῦ** [00026]
**εὐθαλὴς** [00015]
**Εὐθὺς** [00087]
**εὐλαβείας** [00015]
**εὐλογεῖτε** [00039]
**εὐποιίας** [00016]
**εὑρίσκομεν** [00086]
**εὐφράνωσι** [00102]
**εὐχαὶ** [00032]
**ἔφερε** [00089]
**ἔχειν** [00014] [00014]
**ἔχομεν** [00045]
**ἔχοντα** [00061]
**ἔχων** [00092] [00094]
**ἕως** [00058]

**ζέοντες** [00025]
**ζήτημα** [00054]
**ζητούμενον** [00060]
**ζωῆς** [00061] [00092] [00094]

**ἡ** [00017] [00019] [00027] [00027] [00028] [00090] [00093] [00100] [00102]
**ἢ** [00024] [00057] [00073] [00077] [00095]
**ἠγαπημένῳ** [00035]
**ἡδέως** [00056] [00058]
**ἡδύνουσι** [00005]
**ἠκούσαμεν** [00026]
**ἡμᾶς** [00024]
**ἡμεῖς** [00058] [00081]
**Ἡμεῖς** [00068]
**ἡμέρᾳ** [00027]
**ἡμερῶν** [00061] [00092] [00094] [00095]
**ἡμῖν** [00035] [00055] [00064] [00064] [00068] [00073] [00097]
**ἡμῶν** [00102]
**ἦν** [00023] [00089]
**ἠρέμα** [00057] [00059]
**Ἡσαΐαν** [00035]

**θεῖα** [00008]
**θεῖοι** [00006]
**θεῖον** [00052]
**θέλγιστρα** [00032]
**θέλεις** [00035]
**Θεὸν** [00099] [00100]
**Θεόν** [00039]
**Θεὸς** [00049] [00095] [00100]
**Θεός** [00062]
**θεότητα** [00091]
**θεότητος** [00052]
**Θεοῦ** [00024] [00049] [00081] [00098]
**θεοφόρον** [00042]
**θεοφόρου** [00040]
**Θεῷ** [00036] [00044] [00048] [00049] [00099]
**θεώρημα** [00060]
**θεωρήσας** [00042]
**θεωρήσωμεν** [00093]
**θεϊκὰ** [00033]
**θυσίαις** [00100] [00101]
**θυσίαν** [00100]

**ἴδε** [00035]
**ἰδεῖν** [00035]
**ἰδίῳ** [00014] [00014]
**ἱερατεύει** [00066]
**ἱερέα** [00049]
**ἱερεῖον** [00052]
**ἱερεὺς** [00052] [00053] [00065] [00097] [00101] [00101]
**ἱερὸν** [00002] [00026] [00030] [00045] [00045] [00046] [00050] [00052]
**ἱερόν** [00029] [00031] [00043] [00047]
**Ἱερὸν** [00044] [00048]
**ἱερουργοῦντα** [00049]
**Ἰησοῦ** [00102]
**Ἰησοῦν** [00100]
**Ἰησοῦς** [00026] [00029] [00031] [00043] [00047]
**ἱκεσίαι** [00032]
**ἵνα** [00049] [00057] [00080] [00090] [00093] [00102]
**Ἰουδαῖοι** [00084]
**Ἰουδαίοις** [00032]
**Ἰουδαίων** [00100]
**Ἰσραήλ** [00020]
**Ἰσραηλιτῶν** [00036]
**ἰσχύων** [00022]
**ἴσως** [00082]
**Ἰωάννης** [00042]
**Ἰωάννου** [00070] [00071]
**Ἰώβ** [00012]
**In** [00001]

**καθάπερ** [00024] [00090]
**καθὼς** [00093]
**καιρὸς** [00027]
**Κακῶς** [00085]
**καλὰ** [00011]
**καλλίκαρπα** [00025]
**καλλιφωνίας** [00032]
**καλοί** [00010]
**Καλὸν** [00023]
**καλοὺς** [00009]
**κάματον** [00057]
**κάμπτει** [00077] [00079]
**κάμψει** [00078]
**καρδίας** [00014] [00102]
**καρποὶ** [00005]
**καρποῖς** [00022]
**καρπὸν** [00016]
**καρπὸς** [00021]

**καρποὺς** [00007] [00014]
**καρπῶν** [00007] [00022]
**καρτάλλῳ** [00008]
**κατ** [00081]
**κατάκαρπος** [00015]
**κατάκομος** [00015]
**καταπαύσωσι** [00102]
**καταχθονίου** [00076]
**καταχθονίων** [00078]
**κατεστεμμένος** [00016]
**κατοικεῖ** [00052]
**κατορθώση** [00049]
**καυσαμένους** [00022]
**κεκαθαρμένη** [00050]
**κεκερασμένοι** [00006]
**κεκτημένος** [00022]
**κεφάλαιον** [00055]
**Κηρία** [00010]
**κηρίοις** [00009]
**κηρίον** [00009]
**κιβωτοῦ** [00040]
**κινούμενος** [00099]
**κλίμακι** [00059]
**κλίνω** [00054]
**κνίσσαι** [00046]
**κρυπτόμενον** [00042]
**Κύριον** [00014]
**Κύριος** [00002]
**Κυρίου** [00041] [00071]
**Κυρίῳ** [00037] [00102]
**κῶμοι** [00032] [00032]

**λαβόντες** [00024]
**λαὸν** [00049]
**λάρυγγα** [00006]
**λάρυγγί** [00009]
**λάρυγγι** [00021]
**Λάρυγξ** [00013]
**λάρυγξ** [00011]
**λατρεύοντος** [00101]
**λέγει** [00008] [00032] [00078] [00082] [00097] [00100]
**λέγειν** [00024]
**λέγεσθαι** [00050] [00083]
**λέγομεν** [00068] [00098]
**λέγοντα** [00035]
**λέγονται** [00063]
**λέγοντες** [00073] [00097]
**λέγοντος** [00026] [00040]
**λέγουσαν** [00064]
**λεγούσας** [00036]
**Λέγουσι** [00045]
**λέγουσιν** [00067] [00073]
**λέγω** [00014] [00069] [00071]
**λέγων** [00039] [00081]
**λεπτομερῶς** [00055]
**λινῷ** [00042]
**λόγιά** [00009]
**λόγια** [00008]
**λογίων** [00022]
**λόγοι** [00006] [00010]
**λόγον** [00102] [00102]
**Λόγος** [00095]
**λόγος** [00027] [00055] [00071]
**λόγου** [00008] [00028] [00058]
**λόγους** [00009] [00024]
**λόγων** [00014] [00022]
**λοιποὶ** [00005]

**μάθωσιν** [00080]
**μακάριος** [00040]
**μανθάνειν** [00023]
**Μαρίαν** [00036]
**Μαρίας** [00100]
**μάρτυρα** [00064]
**μέγιστον** [00054]
**μεθ** [00023]
**μέθαι** [00032] [00032]
**μείζονα** [00063] [00068]
**μείζων** [00064] [00066] [00071] [00073]
**μέλι** [00009]
**μέλιτος** [00009] [00010]
**μέλλοντα** [00099] [00100]
**μέλλουσαν** [00099]
**Μελχισεδὲκ** [00055] [00061] [00064] [00066] [00073] [00077] [00079] [00079] [00089] [00093] [00094] [00098] [00101] [00101]
**Μελχισεδέκ** [00003] [00053] [00065] [00083] [00088] [00093] [00097]
**Μελχισεδεκιανοὶ** [00097]
**Μελχισεδεκιανοί** [00063]
**μέμνηται** [00039]
**μὲν** [00013] [00014] [00015] [00084]
**Μεσαζούσης** [00026] [00029] [00031] [00043] [00047]
**μεσοπεντηκοστῇ** [00004]
**μεσούσης** [00002]
**μέσῳ** [00020] [00039]
**μεταλήψει** [00007]
**μεταῤῥυθμίση** [00049]
**μετελεύσω** [00054]
**μέχρις** [00056]
**μηδεὶς** [00014]
**μηκύνοντες** [00102]
**μῆλα** [00014]
**μῆλον** [00005] [00018] [00020]
**μὴν** [00072]
**Μήτε** [00092]
**μήτε** [00022] [00022] [00061] [00061] [00068] [00092] [00094] [00094]
**μητέρα** [00090]
**μήτρα** [00042]
**μιαρὸν** [00046]
**μιαρόν** [00045]
**μιμούμενος** [00099]
**μνημονεύσας** [00061]
**μοι** [00023] [00035]
**μόνῳ** [00044] [00048]

**μόσχοις** [00101]
**μόσχους** [00100]
**μου** [00009] [00009] [00020] [00035] [00035]
**Μωϋσέως** [00036]

**νεανίδων** [00039]
**νίκης** [00016]
**νόημα** [00059]
**νοήσαντες** [00063]
**νοήσας** [00099]
**νομιζέτω** [00014]
**νοῦς** [00012] [00013]
**νύμφη** [00019]
**Νῦν** [00054]
**νῦν** [00099]
**νῷ** [00008]

**ξύλοις** [00020]

**ὁ** [00002] [00007] [00008] [00009] [00011] [00012] [00022] [00024] [00026] [00027] [00027] [00029] [00031] [00040] [00043] [00047] [00052] [00053] [00055] [00055] [00061] [00064] [00066] [00066] [00071] [00073] [00077] [00078] [00079] [00088] [00089] [00092] [00094] [00095] [00096] [00097] [00098] [00100]
**ὃ** [00097]
**Ὁ** [00015]
**ὁδοιπόρος** [00056]
**ὁδὸν** [00056]
**οἱ** [00005] [00073] [00080] [00097]
**οἶδα** [00054]
**οἶδε** [00011]
**οἶδεν** [00012]
**οἰκείαν** [00014]
**Οἰκήσω** [00051]
**οἰκητήριον** [00044] [00048]
**οἰκοδεσπότην** [00014]
**οἶνον** [00100]
**οἴνῳ** [00099] [00101]
**οἶοί** [00035]
**οἵτινες** [00102]
**ὀλιγοστὴν** [00022]
**ὄμμα** [00054]
**ὁμοιοπαθῆ** [00068]
**ὁμοίωσιν** [00081]
**ὃν** [00053] [00084]
**Ὅπου** [00046]
**ὄρος** [00057]
**ὀρχεῖσθαι** [00040]
**ὀρχήσεις** [00032] [00034]
**ὀρχήσομαι** [00041]
**ὀρχουμένους** [00035]
**ὃς** [00087]
**ὅς** [00094]
**ὅσον** [00055]
**ὄσφρησίν** [00018]
**ὅταν** [00059]
**Ὅτε** [00002]
**ὅτι** [00045] [00064] [00077] [00077] [00078] [00084] [00085] [00098]
**Ὅτι** [00073]
**Οὐ** [00027] [00093]
**Οὗ** [00039]
**οὐ** [00032] [00032] [00088] [00101]
**οὗ** [00017] [00055] [00058] [00066]
**οὐκ** [00033] [00034] [00040] [00045] [00046] [00054] [00062] [00066] [00071] [00073] [00080] [00100]
**οὐκέτι** [00030]
**οὖν** [00077] [00079] [00083] [00088] [00097] [00100]
**οὐρανίου** [00074]
**οὐρανίῳ** [00059]
**οὐρανίων** [00077]
**οὐρανοῖς** [00091]
**οὐρανόμηκες** [00057] [00059]
**οὐρανὸν** [00030]
**Οὐρίου** [00087]
**οὓς** [00085] [00098]
**Οὔτε** [00095]
**οὔτε** [00070] [00072] [00095]
**οὗτος** [00062] [00098]
**οὕτω** [00025] [00049]
**οὕτως** [00020]

**παίξομαι** [00041]
**Πᾶν** [00052]
**πᾶν** [00078]
**παρ** [00032] [00035]
**παρὰ** [00060] [00080]
**παραδείσῳ** [00014] [00014]
**παραπεμπόμενοι** [00006]
**παραπέμψας** [00008]
**παραπέμψομεν** [00102]
**παρεικάσας** [00009]
**παρέλιπε** [00090]
**παρέλιπεν** [00093]
**παρέχων** [00018]
**παρῆλθεν** [00027]
**παρθένου** [00100]
**παροῦσιν** [00027]
**πᾶσα** [00078]
**πᾶσι** [00060]
**πατέρα** [00090]
**πατέρων** [00014] [00023] [00025] [00102]
**Πατὴρ** [00053] [00097]
**πεδιάσιμον** [00056] [00058]
**πεινωμένους** [00022]
**πένησι** [00016]
**Περὶ** [00055]
**περὶ** [00017] [00055] [00063]
**περιβόλου** [00073]
**πηγῇ** [00102]
**πηδαλίῳ** [00054]
**πίστεως** [00015]
**πίστις** [00048]

**πιστοῦ** [00050]
**πλανηθέντες** [00067]
**πληροῦντες** [00102]
**πλήρωμα** [00052]
**Πνεῦμα** [00067] [00072] [00091]
**Πνεύματι** [00099]
**πνεύματι** [00025]
**Πνεύματος** [00102]
**πόθος** [00024]
**ποιήσω** [00022]
**ποίου** [00073] [00073]
**Πολλοὶ** [00063]
**πολὺς** [00055]
**πολύστροφοι** [00032] [00034]
**πορείαν** [00056]
**πορνείας** [00084] [00086] [00087]
**πορνικὰ** [00032] [00033]
**ποτε** [00095]
**ποῦ** [00054] [00054]
**πρανὲς** [00058]
**πρανῆ** [00056]
**πρέπουσα** [00027]
**πρεπούσης** [00032]
**προβαλλόμενος** [00016]
**προείπαμεν** [00093]
**προθύμως** [00025]
**Πρὸς** [00084] [00085] [00098]
**πρὸς** [00014] [00024] [00049] [00053] [00057] [00097] [00100]
**προσάντη** [00057]
**προσέφερεν** [00100]
**προσκομίζεσθαι** [00099]
**προσκομίζων** [00101]
**προσκυνουμένου** [00079]
**προσκυνῶν** [00079]
**προσφέροντα** [00014]
**προσφορὰν** [00099] [00101]
**προτέρως** [00049]
**προφέρουσιν** [00064]
**Προφητικῷ** [00099]
**Πῶς** [00066]

**ῥήματα** [00012] [00013]
**Ῥοαὶ** [00005]

**Σαλομὼν** [00009]
**σάρκα** [00091]
**σῖτα** [00013]
**σκιᾷ** [00021]
**σκιρτήματα** [00034]
**σκιρτῶντας** [00035]
**Σολομὼν** [00087]
**σου** [00009]
**σοφώτατος** [00009]
**σπονδῶν** [00046]
**σταθεὶς** [00057]
**στελέχη** [00014]
**στήσαντες** [00102]
**στίχον** [00080]
**στόματί** [00009]
**Σὺ** [00053] [00065] [00097] [00101] [00101]
**συναγωγῇ** [00100]
**συνεστήσαντο** [00063]
**σώματα** [00033]
**σωματικῶς** [00052]
**σώματος** [00005]
**σωφροσύνη** [00048]

**τὰ** [00008] [00009] [00011] [00011] [00012] [00023] [00025] [00063]
**τάλανες** [00080]
**τάξιν** [00053] [00065] [00066] [00097] [00101] [00101] [00101]
**τάξις** [00100]
**τὰς** [00033] [00102]
**ταχεῖον** [00057]
**τε** [00018]
**τελεσθείσης** [00030]
**τελεταὶ** [00046]
**τελευτὴν** [00093]
**τέλος** [00061] [00092] [00094]
**τέρψεις** [00018]
**Τῇ** [00004]
**τῇ** [00006] [00007] [00021] [00027] [00042] [00042] [00049] [00059] [00100] [00102]
**τὴν** [00008] [00014] [00014] [00018] [00036] [00049] [00053] [00056] [00064] [00065] [00066] [00090] [00091] [00093] [00093] [00097] [00099] [00101] [00101] [00101] [00101] [00102]
**τήν** [00018]
**τῆς** [00002] [00006] [00006] [00008] [00012] [00014] [00014] [00015] [00015] [00016] [00016] [00026] [00027] [00028] [00029] [00030] [00031] [00032] [00040] [00042] [00042] [00043] [00047] [00052] [00054] [00054] [00084] [00087] [00100] [00102] [00102]
**Τί** [00022] [00060] [00080] [00083] [00097]
**τί** [00019] [00055] [00069]
**τινὰ** [00057]
**τινα** [00056]
**Τίνος** [00061] [00088]
**τινὸς** [00077]
**τίς** [00015] [00018]
**τις** [00082]
**Τὸ** [00042]
**τὸ** [00002] [00002] [00024] [00026] [00029] [00030] [00031] [00043] [00047] [00052] [00054] [00055] [00055] [00058] [00060] [00067] [00067] [00072] [00077] [00101]
**τοίνυν** [00099]
**τοιοῦτον** [00019]
**Τοιοῦτός** [00092]
**τοῖς** [00007] [00015] [00015] [00016] [00016] [00018] [00019] [00020] [00022] [00027]
**τὸν** [00002] [00005] [00006] [00014] [00014] [00016] [00019] [00030] [00035] [00039] [00042] [00049] [00049] [00049] [00052] [00053] [00055] [00057] [00065] [00080] [00083] [00090] [00090] [00090] [00093] [00093] [00097] [00099] [00099] [00100] [00100] [00101] [00101] [00102] [00102]
**τόπον** [00057]
**τοσοῦτον** [00055]
**τοῦ** [00005] [00008] [00020] [00024] [00026] [00027] [00027] [00028] [00049] [00054] [00055] [00057] [00058] [00058] [00063] [00064] [00069] [00070] [00071] [00071] [00073] [00079] [00080] [00080] [00081] [00081] [00087] [00089] [00089] [00100] [00101]
**τοὺς** [00007] [00009] [00014] [00022] [00022] [00035] [00102]
**τοῦτο** [00049] [00073] [00084] [00090]
**τοῦτον** [00093]
**τραχύτατον** [00057]
**τρεῖς** [00024]

**τρυγήσας** [00007]
**τυμπανιστριῶν** [00039]
**τύπος** [00089]
**τῷ** [00008] [00008] [00008] [00009] [00009] [00012] [00014] [00014] [00018] [00021] [00025] [00035] [00035] [00035] [00036] [00037] [00049] [00054] [00058] [00077] [00079] [00081] [00099] [00102]
**τῶν** [00005] [00007] [00007] [00008] [00011] [00012] [00014] [00014] [00014] [00019] [00020] [00022] [00023] [00025] [00046] [00077] [00082] [00100] [00101] [00102] [00102]

**υἱὸς** [00087]
**Υἱῷ** [00081]
**υἱῶν** [00020]
**ὑμᾶς** [00024] [00102]
**ὑμῖν** [00051] [00071]
**ὕμνοις** [00039]
**ὕμνους** [00036]
**ὑμνῳδίαι** [00032]
**ὑμῶν** [00023] [00024] [00102] [00102]
**ὑπ** [00079]
**ὑπὲρ** [00009]
**ὑπὸ** [00084] [00099]

**φάρυγγα** [00005]
**φάρυγγι** [00018]
**φαύλων** [00011] [00012]
**φέρων** [00098]
**φημι** [00018]
**φησί** [00009]
**φησὶν** [00012] [00061] [00066]
**φησιν** [00017] [00019] [00021]
**φιλονεικοῦντες** [00064]
**φόβος** [00024]
**φοίνικας** [00014] [00024]
**φοίνιξ** [00005] [00016] [00017]
**φυλλάδα** [00022]
**φύλλοις** [00015]

**χειλέων** [00008]
**χορεύων** [00042]
**χορὸν** [00036]
**χρηστὰ** [00012]
**χρηστότητα** [00014]
**Χριστιανοῖς** [00032] [00060]
**Χριστὸν** [00090]
**Χριστόν** [00099]
**Χριστὸς** [00052] [00091] [00094] [00096]
**Χριστός** [00066]
**Χριστοῦ** [00063] [00064] [00068] [00069] [00073] [00079] [00080] [00081] [00089] [00089] [00099]
**Χριστῷ** [00077] [00079] [00102]
**χωρίου** [00073] [00077]

**ψυχὰς** [00033]
**ψυχὴ** [00050]
**ψυχῇ** [00049]
**ψυχῆς** [00006] [00012] [00102]
**ψυχῶν** [00034]

**ᾧ** [00052] [00102]
**ὤκνησε** [00055]
**ὡς** [00017] [00040] [00052]
**Ὡς** [00009] [00020]
**ὡσαύτως** [00008] [00012] [00058]
**ὥσπερ** [00007] [00012] [00015] [00016] [00018] [00056] [00081]
**Ὥσπερ** [00011]